(Theognidis)

ὃς δὲ μιῆι γλώσσηι δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
  δειλὸς Κύρν'· ἐχθρὸς βέλτερος ἢ φίλος ὤν.

---

ἄν τις ἐπαινήσηι σε τόσον χρόνον ὅσσον ὁρώιης,
  νοσφισθεὶς δ' ἄλληι γλῶσσαν ἵηισι κακήν,
. . . . . . . . .

---

τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔ τι μάλ' ἐσθλός,
  ὅς κ' εἴπηι γλώσσηι λεῖα, φρονῆι δ' ἕτερα.

---

ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον = 1164a
  γινώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει b
ἀντὶ κασιγνήτου. σὺ δέ μοι φίλε ταῦτ' ἐνὶ θυμῶι c
  φράζεο, καί ποτέ μου μνήσεαι ἐξοπίσω. ⊗ d

(Theognidis)

μηδείς σ' ἀνθρώπων πείσηι κακὸν ἄνδρα φιλῆσαι
  Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
  οὔτέ κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν ἐθέλοι. ×
δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
  ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς·
οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήιον ἀμῶις,
  οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις. ×

109 (-νόον) Teles (p. 42. 7 Hense) ap. Stob. 4. 33. 31 (sine nom.)